Κάδˈμοιο κούραις, ἔπαθον αἳ μεγάλα·
πένθος δὲ πίτˈνει βαρύ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βˈρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ
δέ μιν Παλλὰς αἰεί
27 a {φιλέοντι δὲ Μοῖσαι}
καὶ Ζεὺς πατήρ, μάλα φιλεῖ δὲ παῖς ὁ κισσοφόρος·
λέγοντι δ᾽ ἐν καὶ θαλάσσᾳ
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον.
ἤτοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ᾽ ἡσύχιμον ἁμέραν ὁπότε παῖδ᾽ ἀελίου
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν·
ῥοαὶ δ᾽ ἄλλοτ᾽ ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.
οὕτω δὲ Μοῖρ᾽, ἅ τε πατˈρώϊον
τῶνδ᾽ ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ᾽ ἄγει,
παλιντράπελον ἄλλῳ χρόνῳ
ἐξ οὗπερ ἔκτεινε Λᾷον μόριμος υἱός
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθέν
παλαίφατον τέλεσσεν.

Γ′ ἰδοῖσα δ᾽ ὀξεῖ᾽ Ἐρινύς
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήϊον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυ-
νείκει, νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου